# Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: oho-ad

*Δωρόθεος ὁ Σιδώνιος* · Dorotheus of Sidon

# Fragments on the Planets

*Ἀποσπάσματα περὶ Πλανητῶν*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Ἐπιστήμη* Science
**Format:** *Πραγματεία* Treatise

1 ῾Επτὰ πολυπλανέες κατ' ᾿Ολύμπιον ἀστέρες οὐδόν εἱλεῦνται, μετὰ τοῖσιν ἀεὶ δ' ἐπινήσεται αἰών· νυκτιφανὴς Μήνη, στυγνὸς Κρόνος, ῞Ηλιος ἡδύς, παστοφόρος Παφίη, θρασὺς ῎Αρης, εὔπτερος ῾Ερμῆς, καὶ Ζεὺς ἀρχιγένεθλος, ἀφ' οὗ φύσις ἐβλάστησεν. οἱ δ' αὐτοὶ μερόπων ἔλαχον γένος, ἔστι δ' ἐν ἡμῖν Μήνη Ζεὺς ῎Αρης Παφίη Κρόνος ῞Ηλιος ῾Ερμῆς· τοὔνεκ' ἀπ' αἰθερίου μεμερίσμεθα πνεύματος ἕλκειν δάκρυ γέλωτα χόλον γένεσιν λόγον ὕπνον ὄρεξιν.

2 δάκρυ μέν ἐστι Κρόνος, Ζεὺς 〈δ'〉 ἡ γένεσις, λόγος ῾Ερμῆς, θυμὸς ῎Αρης, Μήνη δ' ἄρ' ὕπνος, Κυθέρεια δ' ὄρεξις, ᾿Ηέλιός τε γέλως· τούτῳ γὰρ ἅπασα δικαίως καὶ θνητὴ διάνοια γελᾷ καὶ κόσμος ἀπείρων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org